ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.
ΒΑ. ποδαπὸν ὅμιλον τόνδ', ἀνέλληνα στόλον,
πέπλοισι βαρβάροισι καὶ πυκνώμασι
χλίοντα, προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν, οὐδ' ἀφ' Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὐδὲ κηρύκων ὕπο,
ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὲν δὴ, κατὰ νόμους ἀφικτόρων,
κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις·
μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ.
*κᾆτ' ἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν,
εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.
ΧΟ. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον.
ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω,
ἢ τηρὸν ἱεροῦ ῥάβδον, ἢ πόλεως ἀγόν;
ΒΑ. πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσῶς ἐμοί.
τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις *Πελασγὸς, τῆσδε γῆς ἀρχηγέτης·
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα.

240. Vid. Pors. Suppl. Præf. ad Hec. p. 25. Pro καὶ τἄλλα emendat Well. κἄτ' ἄλλα, Reisig. κᾆτ', h. e. καὶ εἶτα, quod verius judico. Wellauero autem eatenus assentior, ut Porsoni regulam de pedibus tertio et quarto nunquam integra voce absolvendis *cautius* ad Æschylum adhibendam putem.

244. Varie tentant: tutius duxi nihil in vulgata mutare; quæ si sana esse possit, ῥάβδον est res pro persona: *virgiferum templum custodientem*. Τηρὸς autem auctoritate caret.

245. πρὸς ταῦτ'· non, *ad hæc responde*, ut plerumque; sed, *quod ad hæc attinet*.

247. Vetus lectio Πελασγοῦ.—Canteri emendationem recte receperunt omnes.